των δ' ἀπηλλάχθαι τοῦ κατὰ θάλατταν κινδύνου, καὶ
διανοουμένων τοὺς ἄλλους Ἕλληνας περιιδεῖν ὑπὸ τοῖς
βαρβάροις γενομένους, ὀργισθέντες Ἀθηναῖοι συνεβού- 45
λευον αὐτοῖς, εἰ ταύτην τὴν γνώμην ἕξουσι, περὶ ἅπα-
σαν τὴν Πελοπόννησον τεῖχος περιβαλεῖν· εἰ γὰρ αὐτοὶ
ὑπὸ ⟨τῶν⟩ Ἑλλήνων προδιδόμενοι μετὰ τῶν βαρβάρων
ἔσονται, οὔτ' ἐκείνοις δεήσειν χιλίων νεῶν οὔτε τούτους
ὠφελήσειν τὸ ἐν | Ἰσθμῷ τεῖχος· ἀκινδύνως γὰρ ἔσεσθαι
τὴν τῆς θαλάττης ἀρχὴν βασιλέως. διδασκόμενοι δὲ καὶ 46
νομίζοντες αὐτοὶ μὲν ἄδικά τε ποιεῖν καὶ κακῶς βου-
λεύεσθαι, Ἀθηναίους δὲ δίκαιά τε λέγειν καὶ τὰ βέλ-
τιστα αὐτοῖς παραινεῖν, ἐβοήθησαν εἰς Πλαταιάς· ἀπο-
δράντων δὲ ὑπὸ νύκτα τῶν πλείστων συμμάχων ἐκ τῶν
τάξεων διὰ τὸ πλῆθος τῶν πολεμίων, Λακεδαιμόνιοι μὲν
καὶ Τεγεᾶται τοὺς βαρβάρους ἐτρέψαντο, Ἀθηναῖοι δὲ
καὶ Πλαταιεῖς πάντας τοὺς Ἕλληνας ἐνίκων μαχόμενοι
τοὺς ἀπογνόντας τῆς ἐλευθερίας καὶ ὑπομείναντας τὴν
δουλείαν. ἐν ἐκείνῃ δὲ τῇ ἡμέρᾳ καλλίστην τελευτὴν 47
τοῖς προτέροις κινδύνοις ἐπιθέντες, βέβαιον μὲν τὴν
ἐλευθερίαν τῇ Εὐρώπῃ κατηργάσαντο, ἐν ἅπασι δὲ τοῖς
κινδύνοις δόντες ἔλεγχον τῆς ἑαυτῶν ἀρετῆς, καὶ μόνοι
καὶ μεθ' ἑτέρων, καὶ πεζομαχοῦντες ⟨καὶ ναυμαχοῦντες⟩,
καὶ πρὸς ⟨τοὺς⟩ βαρβάρους καὶ πρὸς τοὺς Ἕλληνας, ὑπὸ
πάντων ἠξιώθησαν, καὶ μεθ' ὧν ἐκινδύνευον καὶ πρὸς
οὓς ἐπολέμουν, ἡγεμόνες γενέσθαι τῆς Ἑλλάδος.

Ὑστέρῳ δὲ χρόνῳ Ἑλληνικοῦ πολέμου καταστάντος 48
διὰ ζῆλον τῶν γεγενημένων καὶ φθόνον τῶν πεπραγ-
μένων, μέγα μὲν ἅπαντες φρονοῦντες, μικρῶν δ' ἐγκλη-
μάτων ἕκαστοι δεόμενοι, ναυμαχίας Ἀθηναίοις πρὸς [Thuk. I 105]
Αἰγινήτας καὶ τοὺς ἐκείνων συμμάχους γενομένης ἑβδο-
μήκοντα τριήρεις αὐτῶν ἐλάμβανον. πολιορκούντων δὲ 49

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415481120/41 UNIVERSITÄT LEIPZIG